μὴν οὐδὲ ἀλλότριον, ἀλλ᾽ ὄντα ἀδελφιδοῦν, οὐδ᾽ αὖ μικρὰ πεπονθώς, ἀλλὰ μεγάλα ἀγαθὰ ὑφ᾽ ἡμῶν, οὐδ᾽ αὖ ἀφιλότιμον, ὃς τὰ ὄντα ἀφανιεῖν ἔμελλον ὥσπερ οὗτοι τὰ τοῦ κλήρου πεποιήκασιν, ἀλλὰ βουλησόμενον καὶ τριηραρχεῖν [καὶ πολεμεῖν] καὶ χορηγεῖν καὶ πάνθ᾽ ὑμῖν τὰ προσταττόμενα ποιεῖν, ὥσπερ κἀκεῖνος. 36 Καίτοι εἰ καὶ συγγενὴς καὶ φίλος καὶ εὐεργέτης καὶ φιλότιμος καὶ δεδοκιμασμένος ὑπῆρχον τοιοῦτος εἶναι, τίς ⟨ἂν⟩ ἀμφισβητήσειε μὴ οὐκ ἀνδρὸς εὖ φρονοῦντος εἶναι ταύτην τὴν ποίησιν; Ἐγὼ τοίνυν ἕν γε τῶν ὑπ᾽ ἐκείνου δοκιμασθέντων ἤδη πεποίηκα· γεγυμνασιάρχηκα γὰρ εἰς Προμήθια τουδε τοῦ ἐνιαυτοῦ φιλοτίμως, ὡς οἱ φυλέται πάντες ἴσασιν. Ὡς δ᾽ ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

Μάρτυρες

37 Τὰ μὲν ἡμέτερα δίκαια, καθ᾽ ἃ προσηκόντως ἔχειν φαμὲν τὸν κλῆρον, ταῦτ᾽ ἐστίν, ὦ ἄνδρες· δεόμεθα δ᾽ ὑμῶν βοηθεῖν ἡμῖν καὶ ἕνεκα Ἀπολλοδώρου καὶ ἕνεκα τοῦ ἐκείνου πατρός· οὐ γὰρ ἀχρήστους αὐτοὺς εὑρήσετε πολίτας, ἀλλ᾽ ὡς οἷόν τ᾽ εἰς τὰ ὑμέτερα προθυμοτάτους. 38 Ὁ μὲν γὰρ πατὴρ αὐτοῦ τάς τε ἄλλας ἁπάσας λητουργίας λελητούργηκε καὶ τριηραρχῶν τὸν πάντα χρόνον διετέλεσεν, οὐκ ἐκ συμμορίας τὴν ναῦν παρασκευαζόμενος ὥσπερ οἱ νῦν, ἀλλ᾽ ἐκ τῶν αὑτοῦ δαπανῶν, οὐδὲ δεύτερος αὐτὸς ὤν, ἀλλὰ κατὰ μόνας, οὐδὲ δύο ἔτη διαλιπών, ἀλλὰ συνεχῶς, οὐδ᾽ ἀφοσιούμενος, ἀλλ᾽ ὡς οἷόν τ᾽ ἄριστα [παρασκευαζόμενος]. Ἀνθ᾽ ὧν ὑμεῖς κἀκεῖνον ἐτιμᾶτε, μεμνημένοι τούτων τῶν ἔργων, καὶ τὸν